οἷον λέγεις.
(Cω.) ἥμαρτον· οὐ γὰρ οἰκέτηι
ἥρμοττ' ἴcωc τὸ τοιοῦτ⟨ό γ'⟩. ἀλλ' οὐ ῥάιδιον
ἐρῶντα cυνιδεῖν ἐcτι τί ποτε cυμφέρει·
καὶ τὴν διατριβὴν ἥτιc ἔcτ' αὐτοῦ πάλαι
τεθαύμακ'· εἰρήκειν γὰρ εὐθὺc οἴκαδε
αὐτῶι παρεῖναι πυθομένωι τἀνταῦθά μοι.

ΠΥΡΡΙΑC

πάρεc, φυλάττου, πᾶc ἄπελθ' ἐκ τοῦ μέcου·
μαίνεθ' ὁ διώκων, μαίνεται.
(Cω.) τί τοῦτο, παῖ;
(Πυ.) φεύγετε.
(Cω.) τί ἐcτι;
(Πυ.) βάλλομαι βώλοιc, λίθοιc·
ἀπόλωλα.
(Cω.) βάλλει; ποῖ, κακόδαιμον;
(Πυ.) οὐκέτι
ἴcωc διώκει;
(Cω.) μὰ Δία.
(Πυ.) ἐγὼ δ' ᾤμην.
(Cω.) τί δαὶ
λέγειc;
(Πυ.) ἀπαλλαγῶμεν, ἱκετεύω cε.
(Cω.) ποῖ;
(Πυ.) ἀπὸ τῆc θύραc ἐντεῦθεν ὡc πορρωτάτω.
'Οδύνηc γὰρ ὑὸc ἦ⟨ν⟩· κακοδαιμ⟨ον⟩ῶν τιc ἢ
μελαγχολῶν ἄνθρωποc οἰκῶ[ν ἐνθαδ]ὶ
τὴν οἰκίαν πρὸc ὅν μ' ἔπεμπ̣[εc